# 25 OCTOMBRIE
# GHERASIM MIKRAGHIANANITUL

# SLUJBA SF.CUVIOASE TAVITA DE LA IOPPE



# MINEIUL PE OCTOMBRIE-GR


Тавифа
Блажени
милостивии,
ꙗкѡ тíи
поми-
лованы
бꙋдꙋтъ.
Icon.SV.ru

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΗΣ
# ΑΓΙΑΣ ΤΑΒΙΘΑ

Μαθητρίας τοῦ Χριστοῦ τῆς Ἐλεήμονος τῆς ἀνυσάσης τὸν Βίον αὐτῆς ἐν ἐλέει Ἐν Ἰόππῃ·

Μετά τοῦ παρακλητικοῦ κανόνος καὶ τῶν εἰκοσιτεσσάρων χαιρετιστηρίων οἴκων αὐτῆς.



Ὁ Ἀπόστολος Πέτρος ἀνιστᾶ τήν Ἁγία Ταβιθά ἐν Ἰόππῃ.

Χαῖρε Ταβιθὰ Ἁγία ὅτι ἀμφοτέρας τὰς χεῖρας ἐν ἐλέει ἐκτείνεις!

Ο ΕΚΔΟΤΗΣ
Ἀγαθάγγελος Βούρδουλας
Ἀρχιμανδρίτης
Ἱερὸς Ναὸς Ἡ Γέννησις τῆς Θεοτόκου
ΣΕΡΡΑΙ

www.tezaurliturgic.ro

'Οκτωβρίου κ! ε!

## Μνήμη τῆς 'Αγίας καὶ δικαίας Ταβιθὰ τῆς 'Ελεήμονος

### 'Εν τῷ 'Εσπερινῷ

Μετὰ τὸν Προοιμιακὸν, τὸ Μακάριος ἀνὴρ. Εἰς δέ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ! καὶ ψάλλομεν τὰς ἑξῆς Προσόμοια τῆς 'Αγίας.

### Ἦχος α! Πανεύφημοι Μάρτυρες

Μαθήτρια ὤφθης ἀληθὴς, Ταβιθὰ Θεόληπτε, Εὐαγγελίου τῆς χάριτος, καὶ θείαις πράξεσι, τούτου ἐκπληροῦσα νόμον τὸν σωτήριον, ἐλέει δαψιλεῖ ἐθεράπευσας, τὸν ἐλεήμονα, καὶ φιλάνθρωπον Θεὸν ἡμῶν· Ὃν δυσώπει, σῶσαι τοὺς τιμῶντάς σε.

Προστάτις ἀπόρων καὶ χηρῶν, γνώμη ἐλεήμονι, καὶ τῶν πασχόντων ἐπίκουρος, ὤφθης θεόληπτε, καὶ γυμνητευόντων, θεῖον περιβόλαιον, Χριστοῦ ἐφεπομένη ταῖς ῥήσεσιν. ὅθεν ἠξίωσαι, Ταβιθὰ θεομακάριστε, οὐρανίου δόξης καὶ λαμπρότητος.

Θανοῦσάν σε ἤγειρε σεμνὴ, Πέτρος ὁ μακάριος, ἐπικαμφθεὶς ταῖς δεήσεσιν, οἷς ἐβοήθησας, Ταβιθὰ θεόφρον, καὶ πλειόνως ἔλαμψας, ἐν οἴκτῳ καὶ πλουσίᾳ χρηστότητι, ἐπὶ τοὺς πάσχοντας, καὶ ζωὴν πρὸς τὴν ἀΐδιον, μεταστᾶσα, ἀξίως δεδόξασαι.

### Προσόμοια ἕτερα

### Ἦχος πλ. δ! Ὢ τοῦ παραδόξου θαύματος!

Ὢ! τοῦ παραδόξου θαύματος! τῆς αἰωνίου ζωῆς, πεφηνὼς κήρυξ ἔνθεος, Πέτρος ὁ 'Απόστολος, Ταβιθὰ τὴν θεόφρονα, νόμῳ θανοῦσαν φύσεως ἤγειρε, καὶ ὑπὲρ φύσιν ζῶσαν παρέστησε. Τούτων δεήσεσιν, 'Ιησοῦ φιλάνθρωπε, σῶσον ἡμᾶς, τοὺς τὰ μεγαλεῖα σου, πιστῶς δοξάζοντας.

Πλήρης ἐναρέτων πράξεων, ἐν θερμοτάτῃ ψυχῇ, ὡς Κυρίου θεράπαινα, καὶ σεμνὴ μαθήτρια, Ταβιθὰ χρηματίζουσα, χηρῶν προστάτις καὶ παραμύθιον, καὶ τῶν πασχόντων ὤφθης περίθαλψις· θείῳ γάρ ἔρωτι, τῷ Χριστῷ πιστεύσασα, τὰς ἐντολὰς, τούτου ἐκπεπλήρωκας, δι' ὧν δεδόξασαι.

Ὤφθης ἀληθὴς μαθήτρια, τοῦ ἐκ Παρθένου 'Αγνῆς, σαρκωθέντος δι' ἔλεος, καὶ τὸν κόσμον σώσαντος, Ταβιθὰ πανοίδιμε· ὅθεν ἀμέμπτως κατηκολούθησας, τοῖς ζωηφόροις αὐτοῦ διδάγμασι, βίον θεάρεστον, ὡς ἐγγὺς καὶ σύσκηνος, τοῖς ἱεροῖς, 'Αποστόλοις ἔχουσα, γνώμης εὐθύτητι.

### Δόξα. Ἦχος δ!

Κατευγασθεῖσα τῇ χάριτι, προσφόρως τῇ κλήσει διέπρεψας, Ταβιθὰ θεόφρον, τοῦ Εὐαγγελίου τῇ διδαχῇ μαθητευθεῖσα· ἐλεημοσύναις γάρ ἐξέλαμψας, καὶ χρηστότητι πολλῇ, καὶ ὡσεὶ ἐλαία κατάκαρπος, τῇ νεολέκτῳ 'Εκκλησίᾳ, τοῦ Θεοῦ ἐγνωρίσθης· καὶ ὁ καρπὸς τῶν ἔργων σου, χειρῶν καὶ πενήτων διατροφὴ ἐγένετο, καὶ τὰς ἐν ἐνδείᾳ τρυχομένας καρδίας, συμπαθῶς ἱλάρυνεν. 'Αλλ' ὡς τῶν αἰωνίων ἀγαθῶν κληρονόμος, τὸν ἐλεή-

μονα Λόγον ἱκέτευε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ὁ αὐτός

Ὁ διὰ σὲ θεοπάτωρ, Προφήτης Δαβίδ, μελῳδικῶς περὶ σοῦ προανεφώνησε, τῷ μεγαλεῖά σοι ποιήσαντι· παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου. Σέ γάρ μητέρα πρόξενον ζωῆς ἀνέδειξεν, ὁ ἀπάτωρ ἐκ σοῦ ἐνανθρωπῆσαι, εὐδοκήσας Θεὸς, ἵνα τὴν ἑαυτοῦ ἀναπλάσῃ εἰκόνα, φθαρεῖσαν τοῖς πάθεσι, καὶ τὸ πλανηθὲν ὀρειάλωτον εὑρών, πρόβατον τοῖς ὤμοις ἀναλαβὼν, τῷ Πατρὶ προσαγάγῃ, καὶ τῷ ἰδίῳ θελήματι, ταῖς οὐρανίαις δυνάμεσι, καὶ σώσῃ Θεοτόκε τὸν κόσμον, Χριστὸς ὁ ἔχων τὸ μέγα καὶ πλούσιον ἔλεος.

**Εἴσοδος, Φῶς ἱλαρὸν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ ('Αναγνώσματα**

Παροιμιῶν τό 'Ανάγνωσμα

**Κεφ. λα! 10, 26.** Γυναῖκα ἀνδρείαν τὶς εὑρήσει, τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Μηρυομένη ἔρια καὶ λίνον, ἐποίησεν εὔχρηστον ταῖς χερσίν αὐτῆς. 'Εγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὕτη τὸν βίον. Καὶ ἀνίσταται ἐκ νυκτῶν, καὶ ἔδωκε βρώματα τῷ οἴκῳ, καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς κατεφύτευσε κτῆμα. 'Αναζωσαμένη ἰσχυρῶς τὴν ὀσφύν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. 'Εγεύσατο ὅτι καλὸν ἐστι τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὅλην τὴν νύκτα ὁ λύχνος αὐτῆς. Τὰς χεῖρας αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τοὺς δὲ πήχεις αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δέ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. 'Ισχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο, καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις.

Προφητείας 'Ησαΐου τὸ 'Ανάγνωσμα

**Κεφ. μα! 1, 11.** 'Εγκαινίζεσθε πρός με νῆσοι· οἱ γάρ ἄρχοντες ἀλλάξουσιν ἰσχὺν. Τὶς ἐνήργησε καὶ ἐποίησε ταῦτα; ἐκάλεσεν αὐτὴν ὁ καλῶν αὐτὴν ἀπὸ γενεῶν ἀρχῆς· ἐγὼ Θεὸς πρῶτος, καὶ εἰς τὰ ἐπερχόμενα ἐγώ εἰμι. Εἴδοσαν ἔθνη καὶ ἐφοβήθησαν, τὰ ἄκρα τῆς γῆς ἐξέστησαν. Σὺ δὲ 'Ισραήλ, παῖς μου 'Ιακώβ, ὅν ἐξελεξάμην, σπέρμα 'Αβραάμ, ὅν ἠγάπησα, οὗ ἀντελαβόμην ἀπ' ἄκρων γῆς, καὶ ἐκ τῶν σκοπιῶν αὐτῆς ἐκάλεσά σε, καὶ εἶπόν σοι· παῖς μου εἶ, ἐξελεξάμην σε, καὶ οὐκ ἐγκατέλιπόν σε, μὴ φοβοῦ, μετὰ σοῦ γάρ εἰμι, μὴ πλανῶ· ἐγὼ γάρ εἰμι ὁ Θεός σου, ὁ ἐνισχύσας σε καὶ ἐβοήθησά σοι, καὶ ἠσφαλισάμην σε τῇ δεξιᾷ τῇ δικαίᾳ μου.

Σοφίας Σολομῶντος τὸ 'Ανάγνωσμα

**Κεφ. δ! 7.** Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γάρ τίμιον. οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δὲ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. 'Ηρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν

αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Εἰς τὴν Λιτήν, Ἰδιόμελα.

### Ἦχος α!

Τῇ εὐσεβείᾳ πυρσευθεῖσα, λαμπὰς θείων ἔργων ἐδείχθης, τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ, Ταβιθὰ πανεύφημε· ἐν εὐποιΐαις γὰρ καὶ οἴκτῳ, χριστομιμήτῳ συμπαθείᾳ, διακειμένη πρὸς τὸ ὁμόφυλον, τὴν τοῦ Σωτῆρος εὐσπλαγχνίαν, πᾶσιν ἐξέφηνας, ὡς ἀληθὴς αὐτοῦ μαθήτρια. τοῖς γὰρ ποικίλως πάσχουσι, βοηθεῖν οὐκ ἐνάρκησας, καὶ πολιτείᾳ ἀμέμπτῳ τῷ Σωτῆρι ἐβόας· Κύριε δόξα σοι.

### Ὁ αὐτὸς

Μαθητευθεῖσα τῇ χάριτι, τὸν ἐν αὐτῇ ἔγνως θεόφρον, θησαυρὸν τῆς ἀγάπης, τὸν ἀποκαλυφθέντα τοῖς ἀνθρώποις, ἐν τῇ Λόγου κενώσει· ἐν ᾗ παιδευομένη, ὁλοψύχως Θεὸν ἠγάπησας, καὶ τὸν πλησίον ὡς σεαυτήν, Ταβιθὰ μακαρία· παντὶ γὰρ θλιβομένῳ, λόγῳ καὶ ἔργῳ ἐπήρκεσας, ἅπαντας ἀνάγουσα, πρὸς ἀγάπην κρείττονα. Ἐν ταύτης οὖν τοῖς ἔργοις, καὶ ἡμᾶς ἀξίωσον εὐαρεστεῖν τῷ Θεῷ πρὸς σωτηρίαν αἰώνιον.

### Ὁ αὐτὸς

Ἡ τῶν χηρῶν προστάτις, καὶ ἀγαθῶν ὑποτύπωσις πράξεων, ἡ ἐν ἐλέει καὶ οἰκτιρμοῖς Χριστοῦ μαθήτρια, Ταβιθὰ ἡ θεόληπτος, μακαριζέσθω θείοις ὕμνοις· ἀκολουθήσασα γὰρ Κυρίῳ, μακαρισμοῦ θείου ἠξίωται, ὡς ἐλεήμων καρδίᾳ, καὶ τῆς ἐν πνεύματι ζωῆς, καὶ τῶν κατ' αὐτὴν ἐπαγγελιῶν, ἔμπνους στήλη· ὅτι ἀξίως πολιτευθεῖσα, τῆς αἰωνίου ζωῆς τὸν στέφανον, παρὰ Χριστοῦ ἐδέξατο, τοῦ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

### Δόξα. Ἦχος β!

Μεμαθητευμένη τῷ λόγῳ τῆς πίστεως, τῶν κατ' αὐτὴν ἀγαθῶν πεπλήρωσαι, Ταβιθὰ θεοδόξαστε· σεαυτὴν γὰρ ὑπέσχες, τῷ θείῳ θελήματι, οὐρανίῳ φρονήματι· καὶ τῇ ἐκ νεκρῶν ἐγέρσει σου, διὰ Πέτρου τοῦ Κορυφαίου, τὸν θησαυρὸν τῆς χρηστότητος, καὶ τῶν ἔργων σου τὸν πλοῦτον, τῇ Ἐκκλησίᾳ ἐκφαίνεις· ἥτις τὴν ἁγίαν σου, ἑορτάζει μνήμην χαίρουσα.

### Καὶ νῦν. Θεοτοκίον

Τὴν πᾶσαν ἐλπίδα μου...

### Εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια.

### Ἦχος β! Ὅτε ἐκ τοῦ ξύλου

Ὅλῃ προθυμίᾳ καὶ σπουδῇ καὶ Χριστομιμήτῳ ἀγάπῃ, δια-

www.tezaurliturgic.ro

κονοῦσα θερμῶς, τοῖς ποικίλως πάσχουσι, καὶ γυμνητεύουσι, Ταβιθὰ πανaοίδιμε, Χριστὸν θεραπεύεις, τρόπων ἐναρέτων σου, ἐπιτηδεύμασιν· ὅθεν τῆς ἀγήρω σε δόξης, μέτοχον δεικνύει ἀξίως, ὁ τοὺς ἀγαθοὺς δοξάζων Κύριος.

Στίχ. Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ τοῖς εὐθέσι πρέπει αἴνεσις

Κρήνη εὐσπλαγχνίας δαψιλής, ἐλεημοσύνης τὰ ῥεῖθρα, καὶ ἱλαρότητος, βλύζουσα τὰ νάματα, ὄντως τὰ ἄφθονα, καὶ πλουσίως ἀρδεύουσα, τὸν θεῖον λειμῶνα, ἐν Ἰόππῃ πέφηνας, τῆς Ἐκκλησίας Χριστοῦ, ἥτις τὴν ἁγίαν σου μνήμην, ἐν ἀγαλλιάσει, τελοῦσα, μέλπει τὰ σεπτά σου προτερήματα.

Στίχ. Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν.

Πίστει καὶ προθέσει τῇ σεπτῇ, καὶ τῇ ἀγωγῇ ἑπομένη, τῶν Μαθητῶν τοῦ Χριστοῦ, ἔνδοξος μαθήτρια, ὤφθης τῆς χάριτος, ἐν Ἰόππῃ ἐμπρέπουσα, ἐλεημοσύναις, καὶ ταῖς ἀντιλήψεσιν, ἐπὶ τοὺς πάσχοντας· ὅθεν οὐρανίων θαλάμων, οὖσα Ταβιθὰ κληρονόμος, πρέσβευε ὑπὲρ τῶν εὐφημούντων σε.

## Δόξα. Ἦχος πλ. δ!

Περιουσίᾳ πίστεως, προϊσταμένη τῶν πενήτων, ἐσκόρπισας ἔδωκας τοῖς δεομένοις, Δαβιτικῶς τὸν ἄρτον σου· τὸν ἐλεήμονα γὰρ Κύριον, ἐν ἐλέει καὶ οἰκτιρμοῖς, καὶ τρόποις χρηστότητος, Ταβιθὰ ἐδόξασας· διὸ μένει σου εἰς τὸν αἰῶνα τὸν μνημόσυνον, καὶ ἡ δικαιοσύνη, ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ, παιδεύουσα ἡμᾶς, πρὸς τὰ τῆς σωτηρίας ἐχόμενα.

## Καὶ νῦν. Θεοτοκίον

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

**Νῦν ἀπολύεις, τὸ τρισάγιον καὶ τὰ Ἀπολυτίκια.**

## Ἦχος δ! Ταχὺ προκατάλαβε.

Μαθήτρια ἔνθεος, ἐν τῇ Ἰόππῃ σεμνή, Χριστοῦ ἐχρημάτισας, καὶ ἐν πολλοῖς οἰκτιρμοῖς, αὐτὸν ἐθεράπευσας· ὅθεν ὑπὸ τοῦ Πέτρου, ὡς ἠγέρθης θανοῦσα, ἔδειξας τοῦ σοῦ βίου, Ταβιθὰ μακαρία, πᾶσι τὴν κεκρυμμένην, θείαν λαμπρότητα.

## Ἕτερον. Ἦχος α! Τῆς ἐρήμου πολίτης.

Μαθήτρια Κυρίου ἐν Ἰόππῃ περίδοξος, ὤφθης Ταβιθὰ ἐν ἐλέει, τὸν Θεραπεύουσα, καὶ χήραις καὶ πτωχοῖς καὶ ὀρφανοῖς, ἐπήρκεσας πλουσίᾳ σου χειρί· διὰ τοῦτο ὡς δοχεῖόν σε ἀρετῶν, τιμῶμεν ἀνακράζοντες. Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐλεοῦντι διὰ σοῦ, πιστῶν τὰ συστήματα.

## Θεοτοκίον

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο, ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ Δίκαιος Δαβίδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί,

www.tezaurliturgic.ro

δόξα τῷ προελθόντι ἐκ σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

## Ἀπόλυσις.

## Εἰς τὸν Ὄρθρον.

### Μετὰ τὴν α! Στιχολογίαν. Κάθισμα.

### Ἦχος α! Τὸν τάφον σου Σωτήρ.

Κηρύγματι σεμνῇ, προσελθοῦσα τῷ θείῳ, ἐλάτρευσας Χριστῷ, ἐν ἀμέμπτῳ καρδίᾳ, καὶ ἔργοις χρηστότητος, Ταβιθὰ παμμακάριστε· ὅθεν μέτοχος, τῶν οὐρανίων χαρίτων, ἀναδέδειξαι, καλῶς τελέσασα ὧδε, Ἁγία τόν βίον σου.

### Θεοτοκίον.

Κυήσασα Χριστὸν, τόν Ὑπέρθεον Λόγον, κατάρας παλαιᾶς, τοὺς ἀνθρώπους ἐρρύσω, καὶ ἅπασιν ἐπήγασας, εὐλογίας τό πέλαγος, τοῖς δοξάζουσι, τὸν σόν ἀπόρρητον τόκον, καὶ κηρύττουσι, σὲ ἀληθῆ Θεοτόκον, Ἁγνὴν Ἀειπάρθενον.

### Μετά τήν β! Στιχολογίαν, Κάθισμα.

### Ἦχος δ! Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἐν τῇ Ἰόππῃ ὑποτύπωσις ὤφθης, τῶν ἐθελόντων εὐσεβείᾳ ἐμπρέπειν, καὶ θεαρέστων ἔργων ἐπιδείξεσι, Ταβιθά θεόσοφε, Ἀποστόλων συνήθης ὅθεν τὴν ἁγίαν σου, ἑορτάζομεν μνήμην, ἵνα ταῖς σαῖς πρεσβείαις πρός Χριστὸν, τὴν τῶν πταισμάτων συγχώρησιν λάβωμεν.

### Θεοτοκίον.

Τοὺς προσκυνοῦντας τὸν σόν ἄφραστον τόκον, καὶ ἀνυμνοῦντάς σου τὴν ἄρρητον δόξαν, καὶ τά πολλὰ καὶ ξένα μεγαλεῖά σου, σκέπε καὶ διάσωζε, ἀπὸ πάσης ἀνάγκης, Κόρη Παντευλόγητε, ἱλαστήριον κόσμου, καὶ τῆς μελλούσης δόξης καὶ χαρᾶς, συγκληρονόμους, Παρθένε ἀπέργασαι.

### Μετὰ τόν Πολυέλεον, Κάθισμα.

### Ἦχος πλ. α! Τὸν συνάναρχον Λόγον.

Ἐλεήμονι γνώμῃ καὶ τρόποις κρείττοσιν, ἐπικουροῦσα θεόφρον τοῖς θλιβομένοις δεινῶς, τοῦ Σωτῆρος εὐκλεὴς ὤφθης μαθήτρια, καὶ τοῖς ἴχνεσιν αὐτοῦ, ἑπομένη νουνεχῶς, τῆς ἄνω μετέσχες δόξης, ἧς Ταβιθὰ ἐκδυσώπει, τυχεῖν τούς πόθῳ σε γεραίροντας.

### Θεοτοκίον.

Ἐξ ἁγνῶν σου αἱμάτων ὑπέρ κατάληψιν σωματωθέντα ἀτρέπτως τὸν πρὸ αἰώνων Θεὸν, ἀπεκυήσας Ἁγνὴ δι ἀγαθότητα· ὅθεν λυθέντες τῆς ἀρᾶς, τῷ σεπτῷ σου τοκετῷ, ὑμνοῦμέν σε Θεοτόκε, καὶ τῇ θερμῇ σου πρεσβείᾳ, ἐν πάσῃ ὥρᾳ καταφεύ-

www.tezaurliturgic.ro

γομεν.

Τὸ α! ἀντίφωνον τοῦ δ! ἤχου καὶ τὸ Προκείμενον.

Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ τοῖς εὐθέσι πρέπει αἴνεσις.

Στίχ. Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι...

Εὐαγγέλιον κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος· Τὶς ἄρα ἐστὶν ὁ πιστὸς οἰκονόμος καὶ φρόνιμος...

Ζήτει τῇ Τρίτῃ τῆς η! Ἑβδομάδος, Λουκᾶ.

Ὁ Ν! Δόξα. Ταῖς τῆς σῆς Ἁγίας...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου....

## Ἰδιόμελον Ἦχος πλ. β!

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κακὰ τὸ μέγα ἔλεός σου...

Τὸ πῦρ τῆς πίστεως Χριστοῦ, ἀναφθὲν ἐν τῇ ψυχῇ σου, ὅλην θεόληπτόν σε ἔδειξεν, ἀγαθαῖς κομῶσαν πράξεσι, Ταβιθά μακαρία· τῆς γὰρ θείας ἀγάπης, ἐπτερώθης τῇ λαμπρότητι, καὶ κατάλληλον τῷ πόθῳ, ζωὴν διήνυσας. Ἀλλ' ὡς τῷ ξύλῳ συνοῦσα τῆς ζωῆς, ἀπαύστως ἱκέτευε, ὑπὲρ τῶν τιμώντων σου.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Εἶτα οἱ κανόνες, τῆς Θεοτόκου καὶ τῆς Ἁγίας φέρων τὴν δε ἀκροστιχίδα.

«Ταβιθὰ ἡ καὶ Δορκάς τιμάσθω. Γερασίμου.».

Ὠδὴ α! Ἦχος πλ. β! Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Τῆς ἄνω δόξης μετέχουσα ἐν χαρᾷ, καὶ φωτὶ τοῦ Πνεύματος, λαμπομένη Ταβιθὰ, λῦσόν μου τὸν ζόφον τοῦ νοὸς, ἵνα μέλψω σου σεμνὴ τὰ προτερήματα.

Ἀκολουθήσασα πίστει εἰλικρινεῖ, τῷ θείῳ κηρύγματι, τῆς ζωῆς τῆς ἀληθοῦς, ὤφθης Ταβιθὰ περιφανὴς, ἐν Ἰόππῃ τοῦ Παντάνακτος μαθήτρια.

Βίον προσφόρως τῇ κλήσει τῇ ἱερᾷ, καθαρὸν καὶ ἔνθεον, διανύουσα σεμνὴ, τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ, Ταβιθὰ καλλιεργεῖς τὰ παραγέλματα.

### Θεοτοκίον·

Ἴασαι Κόρη νοσοῦσάν μου τὴν ψυχὴν, πάσαις παραβάσεσι, καὶ παθῶν ἐπαγωγαῖς, καὶ πρὸς μετανοίας τὴν ὁδὸν, τὴν ζωήν μου τὴν ὑπόλοιπον κυβέρνησον.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου...

Ὠδὴ γ! Οὐκ ἔστιν ἅγιος ὡς σύ.

Θεοῦ τῷ ἔρωτι σεμνὴ, τοῦ τεχθέντος ἀφράστως, ἐξ ἁγίας Παρθένου, πτερωθεῖσα τὴν ψυχὴν, ἐπλήρωσας Ταβιθὰ, θεοφρόνως, τούτου τὰ διδάγματα.

Ἁγίων ἔργων φωταυγὴς, ἀνεδείχθης λυχνία, Ταβιθὰ ἐν Ἰόππῃ, ὡς μαθήτρια Χριστοῦ, τὴν Ἐκκλησίαν αὐτοῦ, εὐποιΐαις, ταῖς σαῖς σελαγίζουσα.

Ἤγειρε Πέτρος ὁ κλεινὸς, ὡς ἐξ ὕπνου θανοῦσαν, Ταβιθά σε καὶ ζῶσαν, ταῖς χήραις καὶ ὀρφανοῖς, δέδωκεν αὖθις σεμνὴ,

www.tezaurliturgic.ro

τοῖς θρηνοῦσι, τῇ ἀποδημίᾳ σου.

**Θεοτοκίον.**

Καταφυγὴ κόσμου παντὸς, καὶ θερμὴ προστασία, σὺ ὑπάρχεις Παρθένε, οἷα Μήτηρ τοῦ Θεοῦ· διὸ μὴ παύσῃ Ἁγνή, ῥυομένη, πάσης ἡμᾶς θλίψεως.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους....

Κάθισμα. Ἦχος δ! Ταχὺ προκατάλαβε.

Ἐν ἔργοις χρηστότητος, καὶ εὐσπλαγχνίᾳ πολλῇ, Κυρίου τὸ ἔλεος, ὑποδηλοῦσα σεμνὴ, ὡς τούτου θεράπαινα, ὤφθης τῶν θλιβομένων, παραμύθιον θεῖον, νέμουσα τοῖς αἰτοῦσιν, ἐκ τῶν σῶν ὑπαρχόντων· διό σε μακαρίζομεν, Ταβιθὰ θεόπνευστε.

**Θεοτοκίον.**

Θεὸν τὸν οἰκτίρμονα, μετὰ σαρκὸς ὑπὲρ νοῦν, κυήσασα Ἄχραντε, δίχα τροπῆς καὶ φυρμοῦ, τὸν κόσμον ἀνέπλασας, λύσασα τὰς ὀδύνας, τῆς ἀρχαίας κατάρας· ὅθεν σε ὡς αἰτίαν, τῆς ἡμῶν σωτηρίας, ὑμνοῦμεν Θεοτόκε, καὶ πίστει δοξάζομεν.

**Ὠδή δ! Χριστὸς μου δύναμις.**

Ἁγίων ἴχνεσι, προθύμως σπεύδουσα, τῶν Χριστοῦ Ἀποστόλων καὶ Μαθητῶν, Ταβιθὰ πανεύφημε, τῆς κοινωνίας ἑαυτῶν, καὶ τῆς χάριτος ἐτρύφησας.

Ἰδὼν τὰ δάκρυα, ἃ ἐν σοὶ ἔχεον, ὁ θεόληπτος Πέτρος ἐκ τῶν νεκρῶν, ζῶσάν σε παρέδωκε, τοῖς ἐκζητοῦσι Ταβιθὰ, ὡς μητέρα σε φιλόστοργον.

Δόξαν τὴν μέλλουσαν, καὶ τὴν λαμπρότητα, τῆς ζωῆς τῆς ἀλήκτου ἀπὸ ψυχῆς, Ταβιθὰ ποθήσασα, τῷ Παντοκράτορι Χριστῷ θεαρέστως εὐηρέστησας.

**Θεοτοκίον.**

Ὄρος κατάσκιον, πλουσίαις χάρισι, καθωράθης Προφήταις ὡς ἀληθῶς, τοῖς τὸ σὸν μυστήριον, πάλαι ἐν Πνεύματι Ἁγνή, προϊδοῦσι καὶ κηρύξασι.

Καταβασία. Τὴν ἀνεξιχνίαστον θείαν βουλὴν...

Ὠδὴ ε! Τῷ θείῳ φέγγει σου ἀγαθὲ.

Ῥημάτων θείων τοῦ Ἰησοῦ, τὰς παραγγελίας τὰς σεπτὰς, ἀποπληροῦσα θερμότατα, ἐν ἐλεημοσύναις σεμνὴ διέπρεψας, καὶ οἰκτιρμοῖς πενήτων γνώμῃ θεόφρονι.

Καταυγασθεῖσα τῷ φωτισμῷ, τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ, καὶ τὴν αὐτοῦ ἀγαθότητα, μυσταγωγηθεῖσα ψυχῆς θερμότητι, τοῖς ἔργοις τῆς ἀγάπης σαυτὴν ἐφαίδρυνας.

Ἀπόρων ὤφθης καταφυγὴ, καὶ χηρῶν ἐπίκουρος σεμνὴ, καὶ τῶν γυμνῶν περιβόλαιον· ἐντεῦθεν τοὺς ἐπαίνους τῆς πολιτείας σου, Λουκᾶς ὁ θηγόρος ἅπασιν ἔπλεξε.

**Θεοτοκίον.**

Σώματος ὕλῃ ἀποτεχθεὶς, ὁ πανυπερούσιος Θεὸς, ἐκ τῶν πανάγνων αἱμάτων σου, ἔσωσε τὸν κόσμον τῆς παραβάσεως,

www.tezaurliturgic.ro

καὶ προστασίαν πάντων Κόρη σε ἔδειξε.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα...

Ὠδὴ στ! τοῦ βίου τὴν θάλασσαν.

Τὴν θείαν χρηστότητα, μιμουμένη εὐσεβῶς, καρδίαν Χριστομίμητον, καὶ φιλόθεον γνώμην καὶ συμπαθῆ, προαίρεσιν ἔσχηκας, Ταβιθὰ πρὸς τὸν πέλας ἀξιάγαστε.

Ἰσχὺν ἀπροσμάχητον, κεκτημένη τὸν Χριστόν, καὶ πρός αὐτὸν θεόληπτε, ἀναγομένη βίῳ εἰλικρινεῖ, ἐλέους θησαύρισμα, Ταβιθὰ θεοφρόνως ἐχρημάτισας.

Μαθήτρια πέφηνας, τοῦ Σωτῆρος ἀληθής, ἐν ἀληθείᾳ πάνσεμνε, καὶ ἐν οἴκτῳ πλουσίῳ καὶ δαψιλεῖ. αὐτὸν θεραπεύουσα, Ταβιθὰ τὸν λαμπρῶς σε μεγαλύναντα.

## Θεοτοκίον.

Ἁγνείας θησαύρισμα, καὶ δοχεῖον καθαρὸν, τῆς ὑπέρ νοῦν σαρκώσεως, τοῦ τῶν ὅλων Δεσπότου καὶ Ποιητοῦ, Ἁγνὴ Ἀειπάρθενε, ἐναγῶν με προλήψεως ἐκκάθαρον.

Καταβασία. Τὴν θείαν ταύτην καὶ πάντιμον...

Κοντάκιον. Ἦχος β! Τοῖς τῶν αἱμάτων σου.

Τοῖς θεαρέστοις σου ἔργοις καὶ πράξεσι, θεοπρεπῶς τῷ Σωτῆρι λατρεύουσα, ἀγάπης ὑπόδειγμα πέφηνας, ὦ Ταβιθὰ ὡς θεόφρον μαθήτρια· διό σου τὴν μνήμην γεραίρομεν.

## Ὁ Οἶκος.

Τοῦ Χριστοῦ τὴν πτωχείαν ποθήσασα, θησαυρὸς καλῶν ἔργων καί πράξεων, ἐν Ἰόππῃ ἐδείχθης θεόπνευστε, ὡς αὐτοῦ θεοφόρος μαθήτρια· πληρότητα γάρ ἐλεημοσυνῶν, καὶ προστασίας καὶ ἀντιλήψεις πτωχῶν καὶ χηρῶν καὶ ὀρφανῶν, ἐν σοὶ μαρτυρεῖ περιτράνως, Λουκᾶς ὁ θεηγόρος καὶ θεόσοφος συγγραφεύς· ἅπερ ὡς δῶρα ἐκλεκτά, καὶ προσφορὰν ἁγίαν καὶ σεπτήν, ἡ τῆς ἀγάπης πηγή, ὁ ἐν ἐλέει ἀνείκαστος Σωτήρ, προσδεξάμενος εὐμενῶς, ἐδόξασέ σε Ταβιθά, ὡς θεράπαιναν αὐτοῦ πιστήν· διὸ σου καὶ ἡμεῖς τὴν μνήμην γεραίρομεν.

## Συναξάριον.

Τῇ κε! τοῦ αὐτοῦ μηνὸς, μνήμη τῆς Ἁγίας Ταβιθὰ τῆς ἐλεήμονος, τῆς ἐν Ἰόππῃ μαθητρίας τοῦ Εὐαγγελίου.

Στίχ. Ποῦ σοι Ταβιθὰ Πέτρος; εἰ γάρ ἦν πάλιν
Ἤγειρεν ἄν σε καὶ θανοῦσαν ὡς πάλαι.

Ταῖς αὐτῆς πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ! Δροσοβόλον μέν.

Σὲ μαθήτριαν πιστὴν καὶ πλήρη χάριτος, καὶ ἔργων τῶν τῆς πίστεως, ἐν Ἰόππῃ οὖσαν θεόφρον, πᾶσι μαρτυρεῖ, Λουκᾶς Ταβιθὰ ὁ θαυμαστός, μεθ' οὗ ἱκέτευε ἡμᾶς, ρύεσθαι πάσης ὀργῆς.

Θεολήπτῳ διανοίᾳ καὶ φρονήματι, μετρίῳ ἀξιάγαστε, διακονοῦσα χερσίν ἁγίαις, πᾶσι συμπαθῶς, οἷς ἔχρῃζον πάσης ἀ-

www.tezaurliturgic.ro

ρωγῆς, τῶν οὐρανίων ἀγαθῶν ὤφθης συμμέτοχος.

Ὡς ἐγγὺς τοῖς Ἀποστόλοις καὶ συνόμιλος, ὑπερφυῶν μυήσεων, ἠξιώθης βίῳ ἀμέμπτῳ, καὶ θεουργικῶν, ἐπλήσθης θεόφρον δωρεῶν, δοξολογοῦσα Ταβιθὰ, τὸν τῶν Πατέρων Θεόν.

**Θεοτοκίον.**

Γεωργεῖν με τὰ οὐράνια νοήματα, καὶ καθαρὰν διάνοιαν, ἐνδυνάμωσον Θεοτόκε, ὡς ἂν τῆς τῶν παθῶν, ρυσθῶ χαλεπῆς ἐπαγωγῆς, καὶ πληρωθῶ τῆς μυστικῆς, θείας ἐλλάμψεως.

Καταβασία. Οὐκ ἐλάτρευσαν...

Ὠδὴ η! Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Ἐντολῶν τοῦ Σωτῆρος τὸν σπόρον πάνσεμνε, γεωργοῦσα προθύμῳ καρδίᾳ ἤνεγκας, στάχυν νοητὸν, δωρημάτων τῆς χάριτος, Ταβιθὰ θεόφρον, Χριστοῦ τῇ Ἐκκλησίᾳ.

Ῥήσει θείᾳ τοῦ Πέτρου πρῴην ἐγήγερσαι, ὡς ἐξ ὕπνου θανοῦσα ἐνθέῳ νεύματι, νῦν δὲ Ταβιθὰ, πρὸς ζωὴν τὴν ἀΐδιον, χαίρουσα μετέστης, συνοῦσα τοῖς Ἀγγέλοις.

Ἀποστόλων συνόμιλος χρηματίσασα, εὐκληρίας μεγίστης σεμνὴ ἠξίωσαι, καὶ τῆς τοῦ Χριστοῦ, βασιλείας μετέσχηκας, Ταβιθὰ θεόφρον τῶν τῇδε μεταστᾶσα.

**Θεοτοκίον.**

Σαρκωθεὶς ἐξ ἀχράντων Ἁγνὴ αἱμάτων σου, ὁ τῶν ὅλων Δεσπότης δι' ἀγαθότητα, ἔλυσεν ἀρᾶς, τῆς ἀρχαίας τὸν ἄνθρωπον, καὶ τὴν ζωὴν παρέσχεν, ἡμῖν τὴν αἰωνίαν.

Καταβασία. Παῖδας εὐαγεῖς...

Ὠδὴ θ! Θεὸν ἀνθρώποις.

Ἱερωτάταις συνοῦσα τάξεσι, τῶν Μαθητῶν Κυρίου οἷα τούτου μαθήτρια, καὶ χαρᾶς ἀπολαύουσα κρείττονος, καὶ τῆς ὑπὲρ λόγον θείας μεθέξεως, πρέσβευε ἀπαύστως, Ταβιθὰ σώζεσθαι ἅπαντας.

Μαθητευθεῖσα λόγῳ τῆς πίστεως, θεοπρεπῶς τὸν βίον διελήλυθας ἔνδοξε, ἀγαθοεργίαις σχολάζουσα, καὶ ἐλεημοσύναις Θεὸν δοξάζουσα· ὅθεν Ταβιθά σε, ὁ Χριστὸς λαμπρῶς ἐδόξασε.

Ὅρμον τὸν θεῖον τῆς ἄνω λήξεως, ὡς ἀσφαλῶς διέπλευσας τοῦ βίου μὴν θάλασσαν. Ταβιθὰ γηθομένη κατέλαβες, καὶ καθορᾷς ἀμέσως Χριστοῦ τὴν λαμπρότητα, ἧς καὶ ἡμᾶς δυσώπει, μετασχεῖν τοὺς σὲ γεραίροντας.

**Θεοτοκίον.**

Ὑψίστου θρόνος ὤφθης πυρίμορφος, καὶ ὑψηλὴ καθέδρα καὶ περίβλεπτος Ἄχραντε, ἐν ἀγκάλαις ὡς νήπιον φέρουσα, τὸν φέροντα τὰ πάντα σθένει θεότητος· ὃν ἐκτενῶς δυσώπει, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καταβασία. Ἅπας γηγενὴς...

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ἀγάπην ἀνυπόκριτον, καὶ γνώμην ἐλεήμονα, ἐν ὁσιότητι

www.tezaurliturgic.ro

πάσῃ καὶ εὐσεβείᾳ τελείᾳ ὡς ἀληθὴς μαθήτρια, Χριστοῦ τοῦ Πανοικτίρμονος, ὦ Ταβιθὰ ἐκέκτησο, δι' ὧν διέπρεψας κόσμῳ, ὡς Ἀποστόλων συνήθης.

### Θεοτοκίον.

Ὑπερφυῶς συνείληφας, τὸν ἐκ Πατρός ἀμήτορα, καὶ τοῦτον ἄνευ ὠδίνων, γεννήσασα Θεοτόκε, φθορᾶς τὸν κόσμον ἔσωσας κυήσει τῇ ἀφθόρῳ σου, καὶ ἀφθαρσίας ἔλλαμψιν, τοῖς ἐν νυκτὶ τῆς ἀπάτης, ἀπήστραψας Θεομῆτορ.

## Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχους δ! καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια τῆς Ἁγίας.

Ἦχος δ! Ἔδωκας σημείωσιν.

Πίστει προσεπέλασας, τῷ σωτηρίῳ κηρύγματι, Ταβιθὰ πανаοίδιμε, καὶ τούτου ὡς ἔγνωκας, τὰς μυσταγωγίας, τοῦ Εὐαγγελίου, τὰ διατάγματα σεμνή, ἀνενδοιάστῳ ψυχῇ ἐπλήρωσας, καὶ πλήρης ἐχρημάτισας, ἀγαθῶν ἔργων τῆς χάριτος, ἐν ἐλέει δοξάζουσα, τὸν οἰκτίρμονα Κύριον.

Πένησιν ἐπήρκεσας, καὶ τῶν χηρῶν προεστάτευσας, ἐν πλουσίᾳ χρηστότητι, ἐκ τῶν ὑπαρχόντων σου, Ταβιθὰ θεόφρον· ὅθεν σοι πλουσίαν, τὴν ἀνταπόδοσιν Χριστὸς, ὁ κατ' ἀξίαν νέμων τὰ ἔπαθλα, παρέσχε πανаοίδιμε, ἐν οὐρανίοις σκηνώμασιν, ἀσφαλῶς κατοικίσας σε, σὺν Δικαίων συστήμασι.

Ἔργοις σου χρηστότητος, τὸν ἐν ἐλέει ἀνείκαστον, καὶ δι' οἶκτον ἀμέτρητον, γενόμενον ἄνθρωπον, ἐπ' εὐεργεσίᾳ, πάντων τῶν ἀνθρώπων, δοξάζουσα πανευσεβῶς, εὐεργεσίας καὶ ἀγαθότητος, τὸν βίον σου μελέτημα, ὡς συμπαθὴς καὶ φιλάγαθος, πρὸς τὸν πέλας πεποίηκας, Ταβιθὰ παμμακάριστε.

Χαίρουσα διήνυσας, τῆς εὐσεβείας τὸν δόλιχον, ὡς Κυρίου μαθήτρια, ἀγάπης ταῖς πράξεσι, περιηνθισμένη, καὶ κεκοσμημένη, ταῖς εὐποιΐαις ταῖς πολλαῖς, καὶ πρὸς τὴν λῆξιν τὴν ἄνω ἔδραμες, συνοῦσα τῷ Δεσπότῃ σου, καὶ τῆς αὐτοῦ ὡραιότητος, Ταβιθὰ ἀπολαύουσα, εἰς αἰῶνα τὸν ἅπαντα.

### Δόξα. Ἦχος α!

Δικαιοσύνῃ κοσμουμένη, ἐν οἰκτιρμοῖς πενήτων τὸν βίον ἐτέλεσας, Ταβιθὰ θεόφρον· τῆς ἀληθείας γὰρ τὸν πλοῦτον ἐκφαίνουσα, ἐν ἱλαρότητι πολλῇ, ἀγαθοεργεῖν ἐν ἅπασιν, οὐδόλως ἐνάρκησας. Καὶ νῦν ἐν Ἐκκλησίᾳ πρωτοτόκων αὐλιζομένη, μὴ παύσῃ πρεσβεύουσα, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

### Καὶ νῦν. Θεοτοκίον.

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη, καὶ θλιβομένων στεναγμὸν μὴ παρορῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς Παναγία Παρθένε.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

Κανὼν παρακλητικὸς εἰς τὴν Ἁγίαν καὶ δικαίαν Ταβιθὰν τὴν Ἐλεήμονα.

Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ Κύριε εἰσάκουσον, μεθ' ὃ τὸ


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ